2. Ὅθεν αὐτοὶ καθ᾽ αὑτοὺς γινόμενοι τῶν συμπτω-
μάτων ὥσπερ φορτίων ἑκάστου τὸν σταθμὸν ἐξετάζωμεν.
τὸ μὲν γὰρ σῶμα πιέζεται τῷ τοῦ βαρύνοντος ἄχθει, ἡ δὲ D
ψυχὴ τοῖς πράγμασι πολλάκις τὸ βάρος ἐξ αὑτῆς προστί-
θησιν. ὁ λίθος φύσει σκληρός, ὁ κρύσταλλος φύσει ψυχρός
ἐστιν, οὐκ ἔξωθεν εἰκῇ ταύτας τὰς ἀντιτυπίας ἐπιφέροντες
καὶ τὰς πήξεις· φυγὰς δὲ καὶ ἀδοξίας καὶ τιμῶν ἀποβολάς,
ὥσπερ αὖ τἀναντία, στεφάνους καὶ ἀρχὰς καὶ προεδρίας,
οὐ τὴν αὑτῶν φύσιν ἀλλὰ τὴν ἡμετέραν κρίσιν μέτρον
ἔχοντα τοῦ λυπεῖν καὶ εὐφραίνειν ἕκαστος ἑαυτῷ κοῦφα
καὶ βαρέα καὶ ῥᾴδια φέρειν ποιεῖ καὶ τοὐναντίον. ἔξεστι δ᾽
ἀκούειν τοῦ μὲν Πολυνείκους ἀποκρινομένου πρὸς τὸ ἐρώ- E
τημα τοῦτο (Eur. Phoen. 388)

‘τί τὸ στέρεσθαι πατρίδος; ἦ κακὸν μέγα;’
‘μέγιστον· ἔργῳ δ᾽ ἐστὶ μεῖζον ἢ λόγῳ·’

τοῦ δ᾽ Ἀλκμᾶνος, ὡς ὁ γράψας τὸ ἐπιγραμμάτιον πεποίηκε
(Anth. Pal. VII 709),

‘Σάρδιες, ἀρχαῖος πατέρων νομός, εἰ μὲν ἐν ὑμῖν
ἐτρεφόμην, κερνᾶς ἦ τις ἂν ἢ βακέλας
χρυσοφόρος, ῥήσσων καλὰ τύμπανα· νῦν δέ μοι Ἀλκμὰν
οὔνομα, καὶ Σπάρτας εἰμὶ πολυτρίποδος,
καὶ Μούσας ἐδάην Ἑλληνίδας, αἵ με τυράννων
θῆκαν Δασκύλεω κρείσσονα καὶ Γύγεω.’

τὸ γὰρ αὐτὸ πρᾶγμα τῷ μὲν εὔχρηστον ἡ δόξα καθάπερ F
νόμισμα δόκιμον, τῷ δὲ δύσχρηστον καὶ βλαβερὸν ἐποίησεν.